eul_wid: tro-aj

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

## Scholia-Eumenides

*Σχόλια εἰς Εὐμενίδας*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Ἔμμετρος* Verse

book Arg Ὑπόθεσις τοῦ προκειμένου δράματος. Ὀρέστης ἐν Δελφοῖς περιεχόμενος ὑπὸ τῶν Ἐρινύων βουλῇ Ἀπόλλωνος παραγίνεται εἰς Ἀθήνας εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς· ἧς βουλῇ νικήσας κατῆλθεν εἰς Ἄργος. τὰς δὲ Ἐρινύας πραείας γινομένας κατ᾽ εὐφημισμὸν προσηγόρευσεν Εὐμενίδας. παρ᾽ οὐδετέρῳ κεῖται ἡ μυθοποιΐα. τὰ τοῦ δράματος πρόσωπα· προφῆτις τῆς Πυθίας· Ἀπόλλων· Ὀρέστης· Κλυταιμήστρας εἴδωλον· χορὸς Εὐμενίδων· Ἀθηνᾶ· προπομποί.

book Inscr Αἰσχύλου Εὐμενίδες.

book 1a ἡμέτερον: ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ συστηματικῶν ἐστι περιόδων, οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρλγʹ, ὧν τελευταῖος (Eum. 139): ἕπου, μάραινε δευτέροις διώγμασι". μετὰ δὲ τὸν ριςʹ, τὸν ριηʹ, τὸν ρκʹ, τὸν ρκβʹ κώλου τμήματα δʹ, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδʹ ἕτερα βʹ κῶλα, ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον, τὸ δὲ ἕτερον ἑφθημιμερὲς ἐκ τριβραχέων. εἰ δὲ καὶ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 1b τὸ προοίμιον διηγηματικόν. σχόλια παλαιά.

book 1c {Καὶ νῦν τυχεῖν με:} φαίνεται ἐπὶ τῆς σκηνῆς εἶναι τὸ μαντεῖον· ἡ δὲ προφῆτις πρόεισιν ἐπίκλησιν, ὡς ἔθος, τῶν θεῶν ποιησομένη. ἀπροόπτως δὲ ἰδοῦσα τὰς Ἐρινύας κύκλῳ τοῦ Ὀρέστου καθευδούσας, πάντα μηνύει τοῖς θεαταῖς, οὐχ ὡς διηγουμένη τὰ ὑπὸ τὴν σκηνήν—τοῦτο γὰρ νεωτερικὸν καὶ Εὐριπίδειον—, ὑπὸ δὲ τῆς ἐκπλήξεως τὰ θορυβήσαντα αὐτὴν καταμηνύουσα φιλοτέχνως. τὰ δὲ πρῶτα ἐξ εὐχῆς καὶ ἐπικλήσεως θεῶν ἤρξατο, ἵνα ἀπὸ τῶν εὐφημοτέρων ἄρξηται ἡ προφῆτις.

book 3 Ἣ δὴ τὸ μητρός: ἢ τῆς κοινῆς μητρὸς πάντων Γῆς, ἢ τῆς Θέμιδος· ἥτις ὀπτήριον θεασαμένη τὸν τῆς ἀδελφῆς αὐτῆς Λητοῦς παῖδα δέδωκε συγγενικὴν δόσιν. ἀπόδειξις δὲ αὕτη τῆς δωρεᾶς οὐκ ἀχάριστος.

book 13 Κελευθοποιοὶ παῖδες: Θησεὺς τὴν ὁδὸν ἐκάθηρε τῶν λῃστῶν· καὶ ὅταν πέμπωσιν εἰς Δελφοὺς θεωρίαν, προέρχονται ἔχοντες πελέκεις ὡς διημερώσοντες τὴν γῆν.

book 15 (τιμαλφεῖ:) τιμᾷ.

book 22 Ἔνθα Κωρυκὶς πέτρα: πέτραν φησὶ κοίλην τὸν Παρνασσόν· διὰ τὸ εἶναι δὲ κοῖλον τὸ ὄρος λέγεται ἐκεῖ ἀναστρέφεσθαι τοὺς δαίμονας, καὶ διὰ τὸ ἄοικον εἶναι.

book 24 (Βρόμιος:) ὁ Διόνυσος.

book 26a Λαγὼ δίκην: οἱ λαγοὶ δειλοί εἰσιν· φησὶν οὖν αὐτὸν λαγωοῦ δίκην ὑποπτήξαντα μὴ ἀντιστῆναι τοῖς πολεμοῦσιν αὐτόν.

book 26b (Πενθεῖ:) τῷ.

book 27 {Ἡφαίστου χθόνα:} 〈Ποσειδῶνος κράτος:〉 τὴν Πυθὼ τὴν πρώην Ποσειδῶνος, ὑπὲρ ἧς Καλαύρειαν ἐδέξατο. Καλλίμαχος (fg. 221 Schneider)· “μέσφα Καλαυρείης ἦλθεν ἐς ἀντίδοσιν”.

book 29 {Τούτους ἐν εὐχαῖς:} τοῦτό φησιν, ἐπειδὴ δραματική ἐστιν ἡ ποίησις· εἰ δὲ ἦν διηγηματική, εἶπεν ἂν ὁ ποιητής· ταῦτα εἰποῦσα εἰς θρόνον ἐκαθέζετο.

book 34 Ἦ δεινὰ λέξαι: τὰ δεινά, φησίν, ἐξέπεμψέ με τοῦ μαντείου· ἰδοῦσα γὰρ Ὀρέστην ἐπὶ τοῦ βωμοῦ καὶ τὰς Ἐρινῦς κοιμωμένας, ἔξειμι τεταραγμένη.

book 38 ὡραῖον.

book 40 Ἐμφαντικῶς παρίστησι τὸν νεωστὶ ηὐθεντηκότα, οἱονεὶ τὸν φονεύσαντα· αὐθέντης γὰρ λέγεται ὁ φονευτής.

book 41 (προστρόπαιον:) ἱκετεύοντα.

book 43 σημείωσαι.

book 45a {Θαυμαστὸς λόχος:} 〈Ἀργῆτι μαλλῷ:〉 εἰώθασιν οἱ ποιηταί, ὅταν τι ἀσαφὲς εἴπωσιν, ἐπεκδιδάσκειν αὐτὸ ἀπὸ τοῦ Ὁμήρου καὶ σαφὲς ποιεῖν.

book 45b (ἀργῆτι:) λευκῷ.

book 47 (εὕδει:) καθεύδει.

book 49 Πρὸς τὸ φοβερὸν τῆς ὄψεως φησὶ τὸ “Γοργείοισι”· καὶ γὰρ τὰς Γοργόνας λέγουσι δείματα φέρειν τοῖς ἀνθρώποις. τὸ δὲ ὅλον εἶδον, φησίν, αὐτὰς ἐν γραφῇ πτερωτάς, ἀλλ’ οὐχ ἁρπακτικάς.

book 52a Βδελύκτροποι: ἃς ἰδών τις, φησί, βδελύξαιτο καὶ ἐκτραπείη μισήσας αὐτὰς ὡς δυσειδεῖς· ἀπὸ γὰρ τῶν ὀμμάτων αὐτῶν λείβουσιν αἱματηρὸν σταλαγμόν.

book 52b σημείωσαι.

book 57a Οὐδέποτε, φησί, τοιοῦτον γένος εἶδον μηδὲ ἴδοιμι.

book 57b (φῦλον:) γένος.

book 57c (ὄπωπα:) εἶδον.

book 59 (ἀνατεί:) ἄνευ ἄτης.

book 60 Τἀντεῦθεν ἤδη: ὥστε, φησίν, εἰ θεραπείας χρεία, αὐτῷ μελέσθω τῷ Ἀπόλλωνι· καὶ γὰρ εἰ θεραπείας χρεία, αὐτός ἐστιν ἰατρός· εἰ δὲ μαντείας, πάλιν αὐτός ἐστι τερατοσκόπος.

book 63 Post vers. paragraphus.

book 64 Ἐπιφανεὶς Ἀπόλλων συμβουλεύει Ὀρέστη καταλιπεῖν μὲν τὸ μαντεῖον, φυγεῖν δὲ εἰς Ἀθήνας. καὶ δευτέρα δὲ γίνεται φαντασία· στραφέντα γὰρ μηχανήματα ἔνδηλα ποιεῖ τὰ κατὰ τὸ μαντεῖον ὡς ἔχει ἐν αὐτῷ. ταῦτα δὲ ὁ Ἀπόλλων φησίν· ἡ γὰρ ἱέρεια ἀπέστη αὐτοῦ.

book 69 Καὶ παλαιὰς λέγει τὰς θεὰς καὶ κόρας· κόρας μέν, ὅτι ἄγαμοι καὶ παρθένοι εἰσί, παλαιὰς δὲ διὰ τὸ γῆρας. τὸ ἀλλόκοτον δὲ τῆς φύσεως διὰ τῶν ἐναντίων τραγικώτερον διασύρει.

book 75 (ἐλῶσι:) ἐλάσουσιν.

book 78 (βουκολούμενος:) περιέπων, ἐνεργῶν.

book 80 (ἄγκαθεν:) ἐν ταῖς ἀγκάλαις.

book 84 Post vers. paragraphus.

book 85 (μὴ ἀδικεῖν:) συνίζησις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 86 (μὴ ἀμελεῖν:) συνίζησις.

book 87a Τὸ σὸν σθένος, φησίν, ἀσφαλές ἐστιν εἰς τὸ εὖ ποιεῖν.

book 87b Post vers. paragraphus.

book 91a Supra vers. ὅδιος γὰρ ὁ θεός.

book 91b (ποιμαίνων:) φυλάσσων.

book 92 (σέβει τοι:) τοῦτο διὰ μέσου.

book 93 Post vers. paragraphus.

book 95 Ἐμὲ μέν, φησίν, ἀτιμάζετε, διότι ἐφόνευσα τὸν Ἀγαμέμνονα· καὶ οἱ ἐμὲ φονεύσαντες οὐκ ἀτιμάζονται· ὡς Ὀρέστης οὗτος ὁ ἐμὸς υἱός.

book 98 (ἀλῶμαι:) πλανῶμαι.

book 99 Ἔχω μεγίστην αἰτίαν: σφαγεῖσα, φησίν, αἰτιῶμαι παρ’ ἐκείνων, ὡς ὑπὸ τοῦ Ὀρέστου τοῦ ἡμετέρου υἱοῦ ἀνῃρέθην.

book 101 (μηνίεται:) ὀργίζεται.

book 104 Εὕδουσα γὰρ φρήν: ἐν τῷ καθεύδειν, φησίν, ὁ νοῦς ἀκριβέστερον ὁρᾷ μὴ πλανώμενος τῇ θέᾳ τῆς ἡμέρας· καὶ γὰρ τῆς νυκτὸς αἱ ἔννοιαι ἄρισται.

book 107 Χοάς τ’ ἀοίνους: οἶνος γὰρ οὐ σπένδεται Ἐρινύσιν. ἔθυον δὲ αὐταῖς κατὰ τὴν νύκτα, ἐν ᾗ οὐδεὶς τῶν θεῶν ἐκοινώνει τῆς θυσίας αὐταῖς. ἐν γὰρ τῷ μέσῳ τῆς νυκτὸς μόναις Ἐρινύσιν ἀπάρχονται θύειν.

book 110 (λὰξ ὁρῶ πατούμενα:) ἤγουν ἀνατετραμμένα.

book 111 (ἐξαλύξας:) ἐκφυγών.

book 112 (ἀρκυσμάτων:) δικτύων.

book 113a Ἐγκατιλλώψας: χλευάσας, ἐγγελάσας. διὰ δὲ τούτων ἐρεθίζει αὐτάς.

book 113b (ἐγκατιλλώψας:) χλευάσας.

book 116 Post vers. paragraphus.

book 118a ἡμέτερον: ἀπὸ τοῦ μυγμοῦ τὸ μύζειν παρήγαγεν. ἔοικε δὲ εἶναι ὁ μυγμὸς καὶ μωγμὸς ἀπήχημά τι τῶν ὑπνούντων.

book 118b Ὁ μὲν Ὀρέστης φυγῇ οἴχεται Ἀθήναζε πυθόμενος· αἱ δὲ Ἐρινύες μόναι καθεύδουσιν ὑπὸ πόνου ἴσως καὶ Ἀπόλλωνος, τοῦ τραγῳδοποιοῦ τοῦτο ἐπιτηδεύσαντος, ἵνα διὰ τούτου ἐμφανὲς γένηται τὸ ἄγριον αὐτῶν καὶ χαλεπόν.

book 124 Ὤζεις: ὥσπερ παρὰ τὸ αἴ αἰάζειν γίνεται, οὕτω καὶ παρὰ τὸ ὤ ὤζειν. τί δέ, φησί, τὸ σὸν ἔργον ἀνύει;

book 127 Κύριοι συνωμόται: συνωμοσίαν, φησί, ποιήσαντες κατεκοίμισαν ὑμᾶς.

book 131a Ὀνειροπολοῦσαι διώκειν Ὀρέστην ἐοίκασιν.

book 131b (κλαγγαίνεις:) βοᾷς.

book 135 Supra vers. οὕτως ἄλγησον ὡς μαστιζόμενος.

book 137 Ἐπουρίσασα: ἐφορμήσασα τῷ Ὀρέστῃ. τὸ δὲ “ἀτμῷ κατισχναίνουσα” ἀντὶ τοῦ πυρετῷ αὐτὸν ἀναλίσκουσα, ὡς δοκεῖν ἀτμοὺς ἀνιέναι ἀπὸ τῆς γαστρὸς αὐτοῦ.

book 139 Post vers. coronis.

book 140a ἡμέτερον: ἔγειρ’ ἔγειρε: καὶ τὰ παρόντα εἴδη τοῦ χοροῦ τοιαῦτά ἐστιν, οἷα πολλάκις εἴρηται. ἔχει γὰρ ἐν ἀρχῇ σύστημα ἐπιφθεγματικὸν στίχων ἰαμβικῶν τριμέτρων γʹ. ἑξῆς δὲ κατὰ σχέσιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

στροφὰς καὶ ἀντιστροφὰς γʹ, ὧν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα ζʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τῆς δευτέρας ὁμοίως ζʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τῆς δὲ τρίτης εʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. εἰσὶ δὲ ἐν τούτοις καὶ ἰαμβικοὶ τρίμετροι πολλοί. ἐπὶ ταῖς ἀποθέσεσι τῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 140b Ante vers. σύστημα ἐπιφθεγματικόν.

book 142 Post vers. (des. ματᾷ) paragraphus.

book 143 Ante vers. στροφὴ κώλων ζʹ.

book 144 ἴαμβος.

book 145 Ἐπάθομεν πάθος: κομματικῶς ἕκαστον ἰδίως προενεκτέον. αἱ γὰρ διακοπαὶ πρόσφοροι τοῖς πάθεσι τούτοις.

book 147 ἴαμβος.

book 148 Post vers. (des. ὤλεσα) paragraphus.

book 149 Ante vers. ἀντιστροφὴ κώλων ζʹ.

book 150a ἴαμβος.

book 150b (καθιππάσω:) ἀντὶ τοῦ κατεπολέμησας.

book 153a ἴαμβος.

book 153b Συλληπτικῶς χρὴ λέγεσθαι τὸν μητραλοίαν.

book 154 Post vers. paragraphus.

book 155a Ante vers. στροφὴ ἑτέρα κώλων ζʹ.

book 155b ἴαμβος.

book 156 Οὕτως ἔτυψέ με, φησίν, ὥσπερ ἡνίοχος τύπτει τοὺς πώλους τῷ κέντρῳ.

book 159 (λοβόν:) τὸ ἄκρον τοῦ ἥπατος.

book 161a Supra vers. οὐ τὸ τυχὸν βαρύ, ἀλλὰ περισσόν.

book 161b Post vers. paragraphus.

book 162a Ante vers. ἀντιστροφὴ κώλων ζʹ.

book 162b Supra vers. ἴαμβος.

book 163 (δίκας πλέον:) ἤγουν ὑπὲρ τὸ δίκαιον.

book 164 Τὸν θρόνον, φησίν, οὗ ὁ Ὀρέστης καθῆστο, πάρεστιν ὁρᾶν φονολιβῆ ἀπὸ ποδῶν ἕως κεφαλῆς. τὸ δὲ "γᾶς ὀμφαλόν" ἀντὶ τοῦ τὸν ἐν Πυθοῖ. διὰ τούτων δὲ ἀποσκευάζειν δοκοῦσι τῆς ἐπικουρίας τῶν θεῶν τὸν Ὀρέστην, ὥστε τὸν ὀμφαλὸν ἔχειν αἵματα ἄγος ἐπαίροντα.

book 168 Post vers. paragraphus.

book 169a Ante vers. στροφὴ ἑτέρα κώλων εʹ.

book 169b Supra vers. ἴαμβος.

book 169c (μάντι:) ὦ.

book 170 Supra vers. αὐτὸς ἑαυτὸν καλέσας ἐπὶ τῷ μιᾶναι τὸν ναόν.

book 171a (παρὰ νόμων:) ἔξω τῶν.

book 171b (τίων:) τιμῶν.

book 172a Supra vers. ἡμᾶς δηλονότι, ὅσον τὸ ἐπὶ σοὶ ἀναιρήσας καὶ φονεύσας.

book 172b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Post vers. paragraphus.

book 174a Ante vers. ἀντιστροφὴ κώλων ε′.

book 174b Supra vers. ἴαμβος.

book 175 (ὑπαί:) ὑπό.

book 176a Ἐναγής, φησίν, ὢν ἐν τῷ κάρᾳ αὐτοῦ ἕτερον μιάστορα λήψεται, καὶ οἱ ἐξ αὐτοῦ δίκας ἡμῖν δώσουσιν.

book 176b (ποτιτρόπαιος:) προστρόπαιος, ἱκέτης.

book 178 Post vers. coronis.

book 179 ἡμέτερον: ἔξω κελεύω: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ξε′, ὧν τελευταῖος (Eum. 243)· “αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 180 Supra vers. τὸ μὲν πρῶτον πρὸς πάσας ὁ λόγος, ἑξῆς δὲ πρὸς μίαν ἑκάστην ἀποδίδοται.

book 181a (πτηνὸν:) ταχύν.

book 181b Ἀργηστὴν ὄφιν: τραγικώτερον ὄφιν εἶπε τὸ βέλος διὰ τὸν ἰόν, πτηνὸν δὲ διὰ τὸ ἐπτερῶσθαι.

book 181c (ἀργηστὴν:) λευκόν.

book 181d (ὄφιν:) βέλος.

book 183 Μέλανα ἀφρὸν εἶπε τὸ αἷμα, οὐ δήπου τὸ ἔμφυτον αὐτῶν—ἀναίμονες γάρ εἰσιν οἱ θεοί—, ἀλλὰ τὸ ἀπ’ ἀνθρώπων ἠθροισμένον· ἀφρὸν δὲ τὴν πῆξιν τοῦ αἵματος.

book 188 Χλοῦνιν λέγει τὴν ἀκμαίαν ἀποκοπὴν παρὰ τὴν χλόην· ἢ ἐπεὶ χλούνης ὁ σῦς, οἱ κάπροι δὲ εὐθὺς εὐνουχίζονται.

book 191 Τὸ “ἑορτῆς” εἰρωνικὸν ἀντὶ τοῦ διατριβήν.

book 192 Πᾶς δ’ ὑφηγεῖται τρόπος: ἀντὶ τοῦ διὰ τῆς μορφῆς ὑμῶν ἡ κακία τῶν τρόπων ὑμῶν δείκνυται.

book 197 Post vers. paragraphus.

book 199–200 Οὐκ ἐπικοινωνῶν τῇ αἰτίᾳ, ἀλλὰ τοῦ παντὸς σὺ αἴτιος.

book 200 Post vers. paragraphus.

book 205a (προστραπέσθαι:) προσελθεῖν.

book 205b (ἐπέστελλον:) ἐκέλευσα αὐτόν.

book 206 Τοῦτο κατὰ ἀκκισμὸν εἴρηται, ὅ φασιν ἰδίωμα, τὰς διωκτρίας προπομποὺς εἰποῦσαι. ἀκκίζειν γάρ φασι τὸ τὰς γυναῖκας ἰδιωματεύεσθαι καὶ σεμνολογεῖν.

book 207 (μολεῖν:) ὑμᾶς.

book 211 Τί προστέταχθε ποιεῖν περὶ ἀνδροφόνου γυναικὸς ἄνδρα φονευσάσης;

book 212a Ὁ τοῦ Ἀγαμέμνονος φόνος, φησίν, οὐκ ἔστιν αὐθέντης, ὅ ἐστι μιαρός.

book 212b (αὐθέντης:) μιαρός.

book 217 ὡραῖον.

book 223 (ἡσυχαιτέραν:) δολιωτέραν.

book 224 Post vers. paragraphus.

book 226 (τίθει:) ποίει.

book 229 (λέγῃ:) ὀνομάζῃ.

book 233 ὡραῖον.

book 234

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Post vers. paragraphus.

book 243 Post vers. coronis.

book 244a ἡμέτερον: εἶεν· τόδ’ ἐστὶ τἀνδρός: καὶ τὰ παρόντα εἴδη τοῦ χοροῦ τοιαῦτά ἐστιν, οἷα πολλάκις εἴρηται· ἔχει γὰρ ἐν ἀρχῇ σύστημα ἐπιφθεγματικὸν στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ι′· ἑξῆς δὲ στροφὴν μονόστροφον κώλων κβ′· ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος· ἐν οἷς εἰσι καὶ ἰαμβικοὶ τρίμετροι. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 244b Ante vers. σύστημα ἐπιφθεγματικὸν στίχων ι′.

book 253a (προσγελᾷ:) θέλγει, προσέρχεται.

book 253b Post vers. paragraphus.

book 255 Ante vers. στροφὴ κώλων κβ′.

book 258 ἴαμβος.

book 261 ἴαμβος.

book 263 Post vers. (des. οἴχεται) paragraphus.

book 264 ἴαμβος.

book 267 ἴαμβος.

book 268 (τίνῃς:) ἵνα.

book 269a ἴαμβος.

book 269b (ἄλλον:) εἰς.

book 272-273 ἴαμβοι β′.

book 272 (ἔχονθ’ ἕκαστον:) ἰωνικόν.

book 273 ὡραῖον.

book 275 ἴαμβος. Post vers. (des. τῇ φρενί) coronis.

book 276 ἡμέτερον: ἐγὼ διδαχθείς: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λα′, ὧν τελευταῖος (Eum. 306)· “ὕμνων ἀκούσῃ τῶνδε δεσμίων σέθεν”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 286 γνωμικόν.

book 294 (ὀρθὸν ἢ κατηρεφῆ:) καταβάλλει γὰρ ἢ ὀρθοῖ.

book 298 Post vers. paragraphus.

book 300 (μὴ οὐ:) συνίζησις.

book 306 Post vers. coronis.

book 307a ἀναπαιστικὰ κῶλα ιε′, δίμετρα καὶ μονόμετρα. ἐπὶ τῷ τέλει κορωνίς.

book 307b Ante vers. στροφὴ καὶ ᾠδὴ κώλων ιε′.

book 320 Post vers. coronis.

book 321a ἡμέτερον: μᾶτερ ἅ μ’ ἔτικτες: τὰ παρόντα εἴδη κατὰ σχέσιν ἐστὶ καὶ ἐξ ὁμοίων, ὡς εἴρηται. εἰσὶ δὲ τῆς μὲν στροφῆς τὰ κῶλα ια′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἐπὶ τῷ τέλει τῆς μὲν στροφῆς παράγραφος, τῆς δὲ ἀντιστροφῆς κορωνίς.

book 321b Ante vers. στροφὴ κώλων ια′.

book 323 (Inter versus des. δεδορκόσιν et inc. τόνδε·) λείπει β′.

book 327 (ματρῷιον·) συνίζησις.

book 329-330

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅρα.

book 333 Post vers. paragraphus.

book 334 Ante vers. ἀντιστροφὴ κώλων ιγʹ.

book 336 περισσὰ βʹ.

book 341-342 ὅρα ὅμοια.

book 345 Post vers. coronis.

book 346a ἡμέτερον: γιγνομέναισιν: τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται μεσῳδικά, ὡς εἴρηται· οὐκ εἰσὶ δὲ διόλου τοιαῦτα, ἀλλʼ ἐν τῇ πρώτῃ μόνον στροφῇ ἔστι καὶ μεσῳδός, αἱ δὲ λοιπαὶ δύο ταῖς ἀντιστροφαῖς εἰσὶ συνημμέναι. εἰσὶ γοῦν τῆς μὲν πρώτης στροφῆς τὰ κῶλα εʹ, τῆς μεσῳδοῦ ηʹ, καὶ τὰ τῆς ἀντιστροφῆς αὖθις εʹ. τῆς δευτέρας στροφῆς κῶλα ηʹ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. καὶ τῆς τρίτης ὁμοίως ηʹ, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. καὶ τῆς τρίτης ὁμοίως ηʹ, παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν, τῶν δὲ λοιπῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνὶς ἐξιόντος τοῦ χοροῦ.

book 346b Ante vers. στροφὴ κώλων εʹ.

book 351 Ante vers. (συνδάτωρ μετάκοινος) diple, post vers. para- graphus et diple.

book 352 Ante vers. μεσῳδὸς κώλων ηʹ.

book 359 Post vers. paragraphus.

book 360 Ante vers. ἀντιστροφὴ κώλων εʹ.

book 361 (θεῶν δʼ:) συνίζησις.

book 364 Post vers. (des. ἐλθεῖν) paragraphus.

book 365a Ante vers. στροφὴ ἑτέρα κώλων ηʹ.

book 365b οὐκ ὀρθά.

book 366-371 ὀρθά.

book 371 Post vers. (des. ποδός) paragraphus.

book 372 Ante vers. ἀντιστροφὴ κώλων ηʹ.

book 372-375 οὐκ ὀρθά.

book 376-380 ὀρθά.

book 380 Post vers. paragraphus.

book 381 Ante vers. στροφὴ ἑτέρα κώλων ηʹ.

book 387-8 (καὶ δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς:) ἴαμβος. Post vers. paragraphus.

book 389 Ante vers. ἀντιστροφὴ κώλων ηʹ.

book 396 (τάξιν γʼ—κνέφας:) ἴαμβος. Post vers. coronis.

book 397 ἡμέτερον: πρόσωθεν ἐξήκουσα: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ϟγʹ, ὧν τελευταῖος (Eum. 488)· “ἥξω διαιρεῖν τοῦτο πρᾶγμʼ ἐτητύμως”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 414 Post vers. paragraphus.

book 442 Post vers. paragraphus.

book 459 (νιν:) αὐτόν.

book 469 Post vers. paragraphus.

book 487 (τὰ βέλτατα:) τὰ μέγιστα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 488 Post vers. coronis.

book 490a ἡμέτερον: νῦν καταστροφαί: τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται προῳδικά, ὡς εἴρηται. ἔχει δὲ τὰ παρόντα προῳδὸν καὶ στροφὰς τρεῖς καὶ ἀντιστροφὰς τοσαύτας. εἰσὶ δὲ τῆς μὲν προῳδοῦ τὰ κῶλα η′, τῆς πρώτης στροφῆς ιβ′, καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα· ἧστινος δὴ στροφῆς μετὰ τὸ τέλος κῶλά ἐστι δύο, ἃ καλεῖται ἐφύμνιον ἢ μεσύμνιον, ὥς φασιν. τῆς δευτέρας στροφῆς τὰ κῶλα ια′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. τῆς δὴ τρίτης η′ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα. ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 490b Ante vers. προῳδὸς κώλων η′.

book 498 Post vers. paragraphus.

book 499 Ante vers. στροφὴ κώλων ιβ′.

book 502-505 οὐκ ὀρθά.

book 510 Post vers. (des. θροούμενος) paragraphus.

book 511 τὰ δύο ταῦτα κῶλα καλεῖται ἐφύμνιον ἢ μεσύμνιον.

book 512-514 ὀρθά.

book 512 Ante vers. ἀντιστροφὴ κώλων ιβ′.

book 513 (νεοπαθὴς:) ἀντὶ μιᾶς.

book 515-518 οὐκ ὀρθά.

book 519-524 ὀρθά.

book 524 Post vers. paragraphus.

book 525 Ante vers. στροφὴ ἑτέρα κώλων ια′.

book 529 (ὤπασεν:) ἀντὶ μιᾶς.

book 534 (δυσσεβίας:) ἰωνικόν.

book 536 Post vers. paragraphus.

book 537 Ante vers. ἀντιστροφὴ κώλων ια′.

book 539a (αἴδεσαι:) αἰδέσθητι.

book 539b (νιν:) αὐτόν.

book 549 Post vers. paragraphus.

book 550 Ante vers. στροφὴ ἑτέρα κώλων η′.

book 554 ἴαμβος.

book 557 Post vers. paragraphus.

book 558 Ante vers. ἀντιστροφὴ κώλων η′.

book 560 (θερμῷ:) ἤγουν θερμουργῷ.

book 562 ἴαμβος.

book 565 (ἄιστος:) συνίζησις. Post vers. coronis.

book 566 ἡμέτερον: κήρυσσε κῆρυξ: αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρμθ′, ὧν τελευταῖος (Eum. 777)· “σωτήριόν τε καὶ δορὸς νικηφόρον”. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 573 Post vers. paragraphus.

book 575 Post vers. paragraphus.

book 647

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡραῖον.

book 651 Post vers. paragraphus.

book 663 σημείωσαι.

book 673 Post vers. paragraphus.

book 685-686 σημείωσαι.

book 691 (μὴ ἀδικεῖν:) συνίζησις.

book 694 ὡραῖον.

book 699 ὡραῖον.

book 710 Post. vers. paragraphus.

book 725 ὡραῖον.

book 733 Post vers. paragraphus.

book 743 Post vers. paragraphus.

book 749 (μὴ ἀδικεῖν:) συνίζησις.

book 751 Post vers. paragraphus.

book 753 Post vers. paragraphus.

book 777 Post vers. coronis.

book 808a ἡμέτερα: ἰὼ θεοί: τὰ τοιαῦτα εἴδη καλεῖται ἑτερόστροφα, ὡς εἴρηται. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ις′, ὧν οἱ πρῶτοι γ′ ἰαμβικοὶ τρίμετροι στίχοι, τὰ δὲ λοιπὰ κῶλα διαφόρων μέτρων. ἐπὶ τῷ τέλει παράγραφος.

book 808b Ante vers. στροφὴ κώλων ις′.

book 823 Post vers. paragraphus.

book 824a οὐκ ἔστ’ ἄτιμοι: σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιγ′. ἐπὶ τῷ τέλει παράγραφος.

book 824b Ante vers. σύστημα στίχων ιγ′.

book 836 Post vers. paragraphus.

book 837a ἡμέτερα: ἐμὲ παθεῖν τάδε: στροφὴ ἑτέρα κώλων ια′, ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

book 837b Ante vers. στροφὴ ἑτέρα κώλων ια′.

book 847 Ante vers. (παρ’ οὐδὲν ἦραν δόλῳ) diple, post vers diple et paragraphus.

book 848a ὀργὰς ξυνοίσω σοι: σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κβ′. ἐπὶ τῷ τέλει παράγραφος.

book 848b Ante vers. σύστημα ἕτερον στίχων κβ′.

book 861 σημείωσαι.

book 866 ὡραῖον.

book 869 Post vers. paragraphus.

book 870a ἡμέτερα: ἐμὲ παθεῖν τάδε: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, τὰ αὐτὰ γὰρ ἔχει κῶλα καὶ τοσαῦτα. ἐπὶ τῷ τέλει δύο διπλαῖ συνήθως.

book 870b Ante vers. ἀντιστροφὴ κώλων ια′.

book 880 Ante vers. (παρ’ οὐδὲν ἦραν δόλῳ) diple, post vers. diple.

book 881a

οὔτοι καμοῦμαι· σύστημα ἕτερον κατὰ περικοπὴν ἀνομοιομερὲς στίχων ἰαμβικῶν τριμέτρων ια′· ἐπὶ τῷ τέλει παράγραφος. καὶ οἱ ἑξῆς στίχοι ὅμοιοι εἰσὶν ἰαμβικοὶ τρίμετροι κδ′· ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει κορωνίς.

book 881b Ante vers. σύστημα στίχων ια′.

book 891 Post vers. paragraphus.

book 910 Post vers. paragraphus

book 915 Post vers. paragraphus.

book 916a ἡμέτερα: δέξομαι Παλλάδος: τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀλλοιόστροφα. εἰσὶ δὲ τῆς παρούσης στροφῆς τὰ κῶλα ια′, τὰ πλείω τροχαϊκά, εἰ βούλει. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ διὰ τὴν ἀνταπόδοσιν.

book 916b Ante vers. στροφὴ κώλων ια′.

book 924 (ἐξαμυρόσαι:) ἀντὶ μιᾶς.

book 925 Ante vers. diple, post vers. paragraphus et diple.

book 927a ἀναπαιστικὰ κῶλα ια′, εἶτα παράγραφος.

book 927b Ante vers. σύστημα κώλων ια′.

book 937 Post vers. paragraphus.

book 938a δενδροπήμων: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ “δέξομαι”· κώλων γάρ ἐστι καὶ αὕτη ια′. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

book 938b Ante vers. ἀντιστροφὴ κώλων ια′.

book 948 Post vers. paragraphus.

book 949a ἀναπαιστικὰ κῶλα ζ′, εἶτα παράγραφος.

book 949b Ante vers. σύστημα ἕτερον κώλων ζ′.

book 955 Post vers. paragraphus.

book 956a ἡμέτερα: ἀνδροκμήτας: στροφὴ ἑτέρα κώλων χοριαμβικῶν ιβ′. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως διὰ τὴν ἀνταπόδοσιν.

book 956b Ante vers. στροφὴ ἑτέρα κώλων ιβ′.

book 957 (νεανίδων τ’:) ἀντὶ μιᾶς.

book 967 Ante vers. diple, post vers. paragraphus et diple.

book 968a ἀναπαιστικὰ κῶλα η′, εἶτα παράγραφος.

book 968b Ante vers. σύστημα ἕτερον κώλων η′.

book 975 Post vers. paragraphus.

book 976a τάνδ’ ἄπληστον: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ “ἀνδροκμήτας”· κώλων γάρ ἐστι καὶ αὕτη ιβ′. ἐπὶ τῷ τέλει παράγραφος μόνη.

book 976b Ante vers. ἀντιστροφὴ κώλων ιβ′.

book 987 Post vers. paragraphus.

book 988a ἀναπαιστικὰ κῶλα η′, εἶτα παράγραφος.

book 988b Ante vers. σύστημα ἕτερον κώλων η′.

book 995 Post vers. paragraphus.

book 996a ἡμέτερα: χαίρετε: στροφὴ ἑτέρα κώλων ζ′, ὧν τὰ πλείω, εἰ βούλει, τροχαϊκά. ἐπὶ τῷ τέλει παράγραφος καὶ διπλαῖ συνήθως.

book 996b Ante vers. στροφὴ ἑτέρα κώλων ζʹ.

book 1002 Ante vers. (ὄντας ἅζεται πατήρ) diple, post vers. paragra- phus et diple.

book 1003a ἀναπαιστικὰ κῶλα ιαʹ, εἶτα παράγραφος.

book 1003b Ante vers. σύστημα ἕτερον κώλων ιαʹ.

book 1013 Post vers. paragraphus.

book 1014a ἡμέτερα: χαίρετε: ἡ ἀντιστροφὴ αὕτη τῆς ἄνω ἐστὶ στροφῆς, ἧς ἡ ἀρχὴ ἡ αὐτή· κώλων γάρ ἐστι καὶ αὕτη ζʹ. ἐπὶ τῷ τέλει δύο διπλαῖ δηλοῦσαι, ὅτι τέλος ἔσχε τὰ ἀνταποδιδόμενα.

book 1014b Ante vers. ἀντιστροφὴ κώλων ζʹ.

book 1020 Ante vers. (–ψεσθε συμφορὰς βίου) diple, post vers. diple.

book 1021a αἰνῶ δὲ μύθους: σύστημα ἕτερον ἐν ἐκθέσει στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ιαʹ. ἐπὶ τῷ τέλει παράγραφος.

book 1021b Ante vers. σύστημα ἕτερον στίχων ιαʹ.

book 1030 (εὔφρων:) εὐφραντική.

book 1031 Post vers. paragraphus.

book 1032a ἡμέτερον: βᾶτ’ ἐν δόμῳ: ἡ ᾠδὴ καὶ στροφὴ αὕτη ἡ ἐν ἐκθέσει τοῦ δράματος κώλων ἐστὶ χοριαμβικῶν καὶ ἀλλοίων ιϛʹ· ἃ καὶ μετρήσεις τοῖς προτέροις ἑπόμενος. ἐπὶ τῷ τέλει κορωνὶς μόνη ἡ τὸ δρᾶμα ἐπισφραγίζουσα.

book 1032b Ante vers. ᾠδὴ καὶ στροφὴ κώλων ιϛʹ.

book 1048 Post vers. coronis.

book Subscr Αἰσχύλου Εὐμενίδες⁚

Eulogikon public reading copy · View original HTML at eulogikon.org